# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

04-09-2019 † ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

† Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα, Ἐπισκόπου Ἀντιοχείας, καὶ τοῦ Ἁγίου καὶ Θεόπτου Μωϋσέως τοῦ Προφήτου.

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο

μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τό ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο

μα τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος
## Ἦχος δ΄

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



θε ω σω θη ναι τας ψυ χας η μων

Δόξα... Τοῦ Προφήτου. Ἦχος β΄

Τοῦ Προφήτου σου Μωϋσέως τὴν μνήμην, Κύριε, ἑορτάζοντες, δι᾿ αὐτοῦ σὲ δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος Δι

Του Προ φη του σου Μω υ σε

ως την μνη μην Κυ ρι ε ε ορ τα ζον τες

δι αυ του Σε δυ σω που μεν σω σον τας ψυ

χας η μω ων

Καὶ νῦν... Τῇ Τετάρτῃ πρωΐ.

Εἰς τό, Θεὸς Κύριος, Ἦχος β΄.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε, νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β'



# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β'

## Μετα τὴν α' Στιχολογίαν
## Καθίσματα Σταυρώσιμα
### Ἦχος Δι

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεός, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη, κράζοντα, Κύριε δόξα σοι.




Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Τὸν ζωοποιὸν Σταυρόν, τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν, σῷζε

τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου, εἰρηνεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Τον ζω ο ποι ον Σταυ ρον της σης α
γα θο τη τος ον ε δω ρη σω η μιν τοις
α να ξι οις Κυ ρι ε σοι προ σα γο μεν ει
εις πρε σβει ει ει αν σω ζε τους βα σι λεις και
την πο λι ιν σου ει ρη νευ ον τας δι α
της Θε ο το κου μο νε φι λαν θρω πε

**Δόξα... Καὶ νῦν...**

*Σταυροθεοτοκίον*

Ἡ παρθένος καὶ Μήτηρ σου Χριστέ, ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, Υἱέ μου ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον, ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν Σταυρῷ πῶς θνήσκεις, θάνατον ἐπονείδιστον;

Η Παρ θε νος και Μη τηρ σου Χρι στε
ε πι ξυ λου ο ρω σα σε νε κρον η πλω με
ε ε ε ε ε νον κλαι ου σα πι κρως Υι
ε μου ε ε λε γε τι το φο βε ρον
του το μυ στη η ρι ον ο πα σι δω ρου με νος
ζω ην την αι ω ω νι ον ε κου σι ως
εν Σταυ ρω πως θνη σκεις θα να τον ε πο νει
ει ει δι στον

### Μετὰ τὴν β΄ Στιχολογίαν
### Καθίσματα Σταυρώσιμα

Τὴν ἄχραντον Εἰκόνα σου, προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς

ἔπλασας, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Την α χραν τον Ει κο να σου προ σκυ
νου μεν Α γα θε αι του με νοι συγ χω ρη σιν
των πται σμα των η μων Χρι στε ο Θε ος βου
λη σει γαρ ηυ δο κη σας σαρ κι α νελ θειν εν
τω Σταυ ρω ι να ρυ ση ους ε ε πλα σας
εκ της δου λει ας του εχ θρου ο θεν ευ χα
ρι στως βο ω ω μεν σοι χα ρας ε πλη ρω
σας τα παν τα ο Σω τηρ η μων πα ρα γε
νο με νος εις το σω σαι τον Κο ο οσμον

Στιχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ὁ φωτίσας τὰ ἐπίγεια διὰ Σταυροῦ, καὶ καλέσας εἰς μετάνοιαν ἁμαρτωλούς, μὴ χωρίσῃς με τῆς ποίμνης σου ὁ ποιμὴν ὁ καλός, ἀλλὰ ζήτησόν με, Δέσποτα τὸν πλανώμενον, καὶ τῇ ἁγίᾳ σου ποίμνῃ συναρίθμησον, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.



## Δόξα... Καὶ νῦν... *Σταυροθεοτοκίον*

Παρεστῶσα τῷ Σταυρῷ σου ἡ ἀσπόρως τεκοῦσά σε, καὶ μὴ φέρουσα ὁρᾶν ἀδίκως πάσχοντα, ὠλοφύρετο, κλαυθμῷ, καὶ ἀνεβόα σοι· Πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθής, γλυκύτατε Υἱὲ; ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.




*Μετὰ τὴν γ΄ Στιχολογίαν. Καθίσματα Σταυρώσιμα*

Ὡς ὁ Ληστὴς ὁμολογῶ, καὶ βοῶ σοι τῷ ἀγαθῷ· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου, καὶ σὺν αὐτῷ με συναρίθμησον, ὁ ἑκουσίως τὰ πάθη ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ως ο Λη στης ο μο λο γω και βο ω σοι

τω Α γα θω μνη σθη τι μου Κυ ρι ε

Εν τη Βα σι λει ει α σου και συν αυ τω με

συ να ρι θ μη σον ο ε κου σι ως τα πα

θη υ περ η μων κα τα δε ξα α με νος

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε, αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικὸν

Α θλο φο ροι Κυ ρι ου μα

κα ρι α η γη η πι αν θει σα τοις αι

μα σιν υ μων και α γι αι αι σκη ναι αι δε

ξα με ναι τα σω μα τα υ μων εν στα δι

ω γαρ τον εχ θρον ε θρι αμ βε ευ σα τε και

Χρι στον με τα παρ ρη σι ας ε κη ρυ ξα τε

Αυ τον ως Α γα θον ι κε τε ευ σα τε σω

θη ναι δε ο με θα τας ψυ χα ας η μων

Δόξα... Καὶ νῦν...

## Σταυροθεοτοκίον

### Τὰ ἄνω ζητῶν

Ὢ θαῦμα καινόν! ἐβόα ἡ Πανάμωμος, Σταυρῷ τὸν Υἱόν, ἰδοῦσα καθηλούμενον, ὁ δρακὶ τὰ σύμπαντα περιφέρων, πάθος ὑφίσταται, καὶ ὡς κριτὸς κατακρίνεται, ὁ πᾶσι παρέχων τὴν συγχώρησιν.

Ω θαυ μα και νον ε βο α η Πα να α

μω μος Σταυ ρω τον Υι ον ι δου σα κα θη
λου με νον ο δρα κι τα συμ παν τα πε ρι
φε ρων πα θος υ φι ι στα ται και ως κρι τος
κα τα κρι νε ε ται ο πα σι πα ρε χων την
συγ χω ω ρη σιν

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## ΚΑΝΟΝΕΣ

### Ὠδὴ α΄ - Κανὼν Σταυρώσιμος

### Ὠδὴ α΄.

### Ἦχος β΄

Ἐν βυθῷ κατέστρωσε ποτέ, τὴν Φαραωνίτιδα πανστρατιάν, ἡ ὑπέροπλος δύναμις, σαρκωθεὶς ὁ Λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος· ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Παραβὰς τὴν πρώτην ἐντολήν, πάλαι ὁ πρωτόπλαστος, ἐκ τοῦ φυτοῦ θάνατον ἀπετρύγησεν, ὑψωθεὶς ἐν ξύλῳ δέ, ὁ ἀθάνατος, καὶ θανάτου γευσάμενος, τὴν ἀθανασίαν, πᾶσι τοῖς ἀνθρώποις ἐδωρήσατο.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῦ Σταυροῦ παγέντος ἐπὶ γῆς, πέπτωκε τὸ φρύαγμα, τοῦ δυσμενοῦς, καὶ παντελῶς ἠφάνισται, ὁ πρὶν ἀπωσμένος δέ, πρὸς Παράδεισον ἐπανέρχεται ἄνθρωπος, δόξα σοι τῷ οὕτω, μόνῳ εὐδοκήσαντι Θεῷ ἡμῶν.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερὸς ἐκάλει σε χορός, πύλην ἀδιόδευτον, γῆν ἐκλεκτήν, καὶ ὄρος ἀλατόμητον, Παναγία Δέσποινα· τὸν Δεσπότην γὰρ τῶν ἁπάντων ἐκύησας, τὸν ἐθελουσίως, σταύρωσιν σαρκὶ καταδεξάμενον.

Κανὼν τῶν Ἁγίων δύο. Ὁ κανὼν τοῦ Ἱερομάρτυρος, Ὠδὴ α΄. Ἦχος πλ. β΄

Ὡς ἐν ἠπείρῳ πεζεύσας

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν τῶν οἰκείων αἱμάτων ὡς Μωϋσῆς, ἐρυθραίαν θάλασσαν, ἀκυμάντως διελθών, Βαβύλα μακάριε Θεῷ, ἐπινίκιον ᾠδήν, ἐβόας ᾄσωμεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ τῶν γηΐνων τὸν πόθον τῷ θεϊκῷ, ὑποτάξας ἔρωτι, κατεφρόνησας τοῦ ζῆν, Βαβύλα μακάριε Χριστοῦ, ἐπειγόμενος ἰδεῖν τὴν ὡραιότητα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς ὑπερθέου Τριάδος ὡς ἐραστής, τοῖς τρισὶ συνέθανες, ἀγαλλόμενος παισί, Βαβύλα μακάριε τὴν σήν, προϊέμενος ψυχήν, τῷ ταύτης ἔρωτι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Τὸν σεαυτῆς τετοκυῖα Δημιουργόν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρός, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνή, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης Δέσποινα.

Κανὼν τοῦ Προφήτου

Ὠδὴ α΄ Ἦχος δ΄

Θαλάσσης τὸ ἐρυθραῖον

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μωσῆς Προφητῶν αἰνείσθω πρότερος, ὡς ἐνωπίῳ Θεῷ, συνομιλήσας πρῶτος ἐμφανῶς, ἐν προσώπῳ πρὸς πρόσωπον, οὐκ αἰνιγμάτων φάσμασιν, ἀλλ᾽ ὡς ἐν εἴδει σαρκός βλέψας αὐτόν

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θεῖον δημαγωγὸν καὶ ῥύστην σε, τοῦ συγγενοῦς Ἰσραήλ, Μωσῆ θεόπτα δέδωκε Θεός, τῷ πατρὶ ὥσπερ ηὔξατο, ἐπαγγελίας ῥήματι, προμυηθέντι σου τὴν γέννησιν

Δόξα...

Cοφίας σε θησαυρὸν ἐφεύραντο, αἱ γενικαὶ ἀρεταί, ἐγκεκρυμμένον γνώσει τοῦ Θεοῦ, ὡς ἐν Θήβῃ Θεόπτα, Μωσῆ· διὸ σε ἀνεθρέψατο, ἡ βασιλὶς καὶ θεία πρόνοια.

Καὶ νῦν... Θεοτοκίον

Κατέπτηξ᾽ ἰδὼν Μωσῆς παράδοξον, ἐν πρώτοις θέαμα, βάτον καὶ φλόγα, ξένην συμπλοκήν, τὸν Θεὸν ἐκ Παρθένου Μητρός, προζωγραφοῦσαν ἄφθαρτον, ὃν διαβὰς τούς χρόνους εἶδε σαρκί.

## Ὠδὴ γ΄ - Κανὼν Σταυρώσιμος
## Ἦχος β΄. Ὁ Εἱρμὸς

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σταυρούμενος ἐσάλευσας, πᾶσαν κτίσιν, Κύριε, καὶ τοὺς πιστοὺς ἐστήριξας, ἐπιγνόντας τὴν δυναστείαν σου, καὶ τὴν ἄφατον Λόγε συγκατάβασιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Παράδεισον ἠνέῳξας, τῷ Σταυρῷ σου Δέσποτα, καὶ τὸν Ληστὴν εἰσήγαγες, ἐπιγνόντα τὴν Βασιλείαν σου, καὶ τὸν πλοῦτον τῆς θείας εὐσπλαγχνίας σου.

### Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑψούμενον ἐν ξύλῳ σε, τὸν ζωοδότην βλέπουσα, καὶ ἑκουσίως θνῄσκοντα, καὶ τοῖς πᾶσι ζωὴν παρέχοντα, ἐδονεῖτο τὰ σπλάγχνα ἡ Πανάμωμος.

Τοῦ Ἱερομάρτυρος
Ὠδὴ γ΄
Οὐκ ἔστιν Ἅγιος ὡς σὺ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, σοῦ Βαβύλα τοῦ πιστοῦ, καὶ στεφανώσας αὐτόν, τῷ στεφάνῳ τῆς ὁμολογίας σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτύρων γέγονεν ἰσχύς, Κύριε ὁ Σταυρός σου, στερεώσας τοὺς παῖδας, σὺν Βαβύλᾳ τῷ κλεινῷ, καὶ καθελὼν δι᾽ αὐτῶν, τὰ τῆς πλάνης ἄθεα φρυάγματα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰσχὺς ἐξέλιπε Χριστέ, διαβόλου εἰς τέλος· τοῖς ἀκάκοις παισὶ γάρ, καὶ Βαβύλα τῷ κλεινῷ, ἡττᾶται ὁ ἰσχυρός, καὶ γελᾶται ὑπ᾽ αὐτῶν παιζόμενος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Ἰσχύς μου ὕμνησις Χριστός, ὁ ἐκ σοῦ ἀνατείλας, περικείμενος σάρκα, Θεοτόκε δουλικήν, καὶ ἐκ δουλείας ἡμᾶς, διαβόλου σῴζων ἀγαθότητι.

Τοῦ Προφήτου
Ἦχος πλ. δ΄.
Τόξον δυνατῶν ἠσθένησε

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλως τῆς ἀρρήτου γνώσεως, ἐπλήσθης θεόπτα· τὸ γὰρ Πνεῦμα τὸ Πανάγιον, δι᾽ Ἀγγέλου τὴν τῶν ἀρχαίων, ἐμυήσατό σε γνῶσιν τρανῶς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φέρων τηλαυγῶς τὰς θείας αὐγάς, ταῖς θεοσημείαις, κατέπληττες Αἴγυπτον, μεταβάλλων τὴν τῶν στοιχείων, παραδόξως φύσιν Πάνσοφε.

Δόξα...

Ηὔγει τὸ ὡραῖον κάλος σου, τὴν ἐκ θείας σου αἴγλης, λαμπρὰν ἀστειότητα, καὶ πρὸς θείαν ἀπλήστως πάντας, ἐπεσπάσω ὡραιότητα.

Καὶ νῦν... Θεοτοκίον

Ἤχθης τοῦ φρικτοῦ ὁράματος, πρὸς ἐκστατικὴν κατανόησιν Πάνσοφε, ἀλλ᾽ ἐσχέθης φωνῇ Κυρίου, τοῦ τεχθέντος ἐκ Παρθένου σαρκί.

## Ὠδὴ γ΄, τοῦ Μηναίου

## Ὁ Εἱρμὸς . Ἦχος δ΄

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Ἦχος λ τος



Κάθισμα τοῦ ἱερομάρτυρος
Ἦχος γ΄ Θείας πίστεως

Ζέων πίστεως ὁμολογίᾳ, πλάνης ἔσβεσας κακοδοξίαν, στηλιτεύσας τῶν εἰδώλων τὸ ἄθεον· καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, θαυματουργίαις δροσίζεις τὰ πέρατα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... τοῦ Προφήτου
Ἦχος δ΄ Ἐπεφάνης σήμερον

Προφητῶν ἁπάντων σε, πρῶτον ὡς ὄντα, εὐσεβῶς γινώσκοντες, ἀνευφημοῦμεν οἱ πιστοί· πρῶτος Θεὸν γὰρ ἑώρακας, ὡς δυνατὸν ἦν, ἀνθρώπῳ θεάσασθαι.

Καὶ νῦν... Θεοτοκίον

Ἐπὶ ξύλου βλέπουσα, ἀναρτηθέντα, τὸν Υἱόν σου Πάναγνε, σπλάγχνα μητρῷα γοερῶς, σπαρασσομένη ἐκραύγαζες, Οἴμοι! πῶς ἔδυς, τὸ φῶς μου τὸ ἄχρονον.

## Ὠδὴ στ΄, τοῦ Μηναίου
### Ἦχος δ΄.
### Ὁ Εἱρμὸς

**Θ**ύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι΄ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».

Ἦχος λ΄ γ΄τος



### Κοντάκιον τοῦ Ἱερομάρτυρος
### Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως

Ὡς εὐσεβείας κήρυκα, καὶ ἀθλητῶν ἑδραίωμα, ἡ Ἐκκλησία δοξάζει σε ἔνδοξε, λαμπρυνομένη σήμερον· ἀλλ᾽ ὡς ἔχων παρρησίαν, ἐν εἰρήνῃ τελείᾳ, τοὺς ἀνυμνοῦντάς σε, τὸν Χριστὸν φυλαχθῆναι δυσώπησον, ὦ Πολύαθλε.

### Ὁ Οἶκος

Τὴν τοῦ κόσμου σαφῶς ματαιότητα, ἐννοῶν ὁ τοῦ κόσμου ἀλλότριος, καὶ τὰ πάθη Χριστοῦ μιμησάμενος, τὰ τοῦ σώματος πάθη ἐνέκρωσας, καὶ τὸν σταυρόν σου ἀράμενος, ἠκολούθησας Μάρτυς τῷ Κτίστῃ σου· καὶ συμμένων αὐτῷ νῦν ἱκέτευε, ὑπὲρ τῶν σὲ τιμώντων ἀληθῶς, ὦ Πολύαθλε.

### Συναξάριον

Τῇ Δ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα, Ἐπισκόπου Ἀντιοχείας τῆς μεγάλης, καὶ τῶν σὺν αὐτῷ Ἁγίων τριῶν παίδων, οἳ διὰ ξίφους ἐτελειώθησαν.

### Στίχοι

Ὁ Χριστὸν αὐτὸν Βαβύλας θύων πάλαι,
Χριστῷ προθύμως θύεται διὰ ξίφους.

Στίχοι

Ὑπὲρ μεγίστου Δεσπότου Θεοῦ Λόγου,
Τρέχουσι θερμῶς πρὸς ξίφος τὰ παιδία.

Παῖδας καὶ Βαβύλαν πέφνε ξίφος ἀμφὶ τετάρτην.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Βαβύλας, ὁ ἐν Ἀντιοχείᾳ διδάσκαλος, σὺν τοῖς ὑπ᾽αὐτὸν ὀγδοήκοντα τέσσαρσι παισί, ξίφει τελειοῦται.

Στίχοι

Μαθήσεώς σοι μισθὸς ἐκ τῶν παιδίων,
Βαβύλα θεῖε τῆς τομῆς κοινωνία.

Ὁ Ἅγιος προφήτης Μωϋσῆς ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Οὐκ ἐκ πέτρας νῦν, ουδ᾽ ὀπισθίων μέρει,
Μωσῆ θεωρεῖς, ἀλλ᾽ ὅλον Θεὸν βλέπεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Ἑρμιόνης, μιᾶς τῶν θυγατέρων Φιλίππου τοῦ ἀποστόλου.

Στίχοι

Χωρεῖς πρὸς αὐτοὺς οὐρανοὺς Ἑρμιόνη,
Ἑρμαῖον εὑρηκυῖα τὴν σωτηρίαν.

Οἱ Ἅγιοι Θεότιμος καὶ Θεόδουλος, οἱ ἀπὸ δημίων πιστεύσαντες, πυρὶ τελειοῦνται.

Στίχοι

Θεότιμος τέθνηκε σὺν Θεοδούλῳ,
Τιμὴν σὺν αὐτῷ δουλικὴν δοὺς Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Κεντυρίωνος, Θεοδώρου, Ἀμιανοῦ, καὶ Ἰουλιανοῦ, ὁρμωμένων ἐκ κώμης Κανδαύλης.

Στίχοι

Ὁ Κεντυρίων πῦρ πόθου θείου πνέων,
Ψυχὴν προθύμως εἰς τὸ πῦρ ἀποπνέει.
Τριττοῖς ἀθληταῖς, ἡ πυρὰ κλῖμαξ ξένη,
Δι΄ ἧς ἀνῆλθον οὐρανοῦ πρὸς τὸ πλάτος.

Τῇ αὐτῇ, ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Πετρωνίου, Χαριτίνης, Ζαρβήλου (ἢ Σαρβήλου), Θαθουήλ, καὶ Βεβαίας.

Στίχοι

Τμηθέντες ἄμφω Θαθουὴλ καὶ Βεβαία,
Ζωὴν βεβαίαν εὗρον ἀντ᾽ ἐψευσμένης.
Βέβηλον ὁ Ζάρβηλος οὐ σέβων σέβας,
Ἀνδρῶν βεβήλων χερσὶ βάλλεται λίθοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων τρισχιλίων ἑξακοσίων εἰκοσιοκτὼ Μαρτύρων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

Ὠδὴ η΄, τοῦ μηναίου

Ἦχος δ΄

Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἦχος λ Γτος β λ






Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄



τα πει νω σιν της δου λης αυ του ι δου
γαρ α πο του νυν μα κα ρι ου σι με πα
σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα
λει α ο δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος δ΄ Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βιμ και


εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος ε'
Και θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε πλη σεν α γα θων και πλου τουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν

Στίχος στ' Ἀν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη ναι ε λε ους κα θως
ε λα λη σε προς τους πα τε ρας η μων
τω Α βρα αμ και τω σπερ μα τι αυ του ε
ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των
Σε ρα φιμ την α δι α φθο ρως Θε ον
Λο γον τε κου σαν την ον τως Θε ο το κον

σε με γα λυ νο μεν

## Εἶτα ψάλλεται ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου

### Ἦχος δ΄.

### Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

### Ἦχος Γ τος

Λι θος α χει ρο τμη τος ο ρους εξ α

λα ξευ του σου Παρ θε νε α κρο γω νι αι

ος ε τμη η θη Χρι στος συ να α ψας τας

δι ε στω σας φυ σεις δι ο ε πα γαλ λο

με νοι σε ε Θε ο το κε με γα λυ νο μεν


Ἦχος λ τος Βου
Ἄ ξι ον ε στιν ως α λη θως μα κα
ρι ζειν σε την Θε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων τη τι μι ω
τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ο ον Λο ο γον τε κου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο με ε ε ε εν

## Ἐξαποστειλάριον
### Ὁ οὐρανὸν τοῖς ἄστροις

Θύτης ὁμοῦ καὶ θῦμα, Βαβύλα ὤφθης τοῦ Θεοῦ, θύων αὐτῷ ἀναιμάκτως, καὶ σοῖς ἐν αἵμασι τυθείς, σὺν τοῖς τελείοις νηπίοις, μεθ᾽ ὧν σε ἀνευφημοῦμεν.

### Θεοτοκίον

Τοὺς μὴ τὴν σὴν εἰκόνα, Παρθένε ἀσπαζομένους, καὶ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, ἐκ πίστεως εἰλικρινοῦς, κατάβαλε ὡς ἀθέους, καὶ τῇ γεέννῃ παράδος.

## ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυ νοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Ὑιῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

*Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.*

*Σταυρώσιμα*

## Ἀπόστιχα τῶν Αἴνων,

## Σταυρώσιμα

### Ἦχος Πα

**Σ**ταυρωθήτω ἔκραζον, οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες, καὶ κακοῦργον ἀντ΄ εὐεργέτου, ᾐτοῦντο λαβεῖν οἱ τῶν δικαίων φονευταί, ἐσιώπας δὲ Χριστέ, φέρων αὐτῶν τὴν προπέτειαν, παθεῖν θέλων, καὶ σῶσαι ἡμᾶς ὡς φιλάνθρωπος.



Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ΄ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ἑκουσίως πτωχεύσας, τὴν πτωχείαν τοῦ Ἀδάμ, Χριστὲ ὁ Θεός, ἦλθες ἐπὶ γῆς, ἐκ Παρθένου σαρκωθείς, καὶ Σταυρὸν κατεδέξω, ἵνα ἡμᾶς ἐλευθερώσῃς, τῆς δουλείας τοῦ ἐχθροῦ, Κύριε δόξα σοι.



## Μαρτυρικὸν

Στίχ. β΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Τῶν Ἁγίων σου τὰ πλήθη, δυσωποῦσί σε Χριστέ, ἐλέησον ἡμᾶς, ὡς φιλάνθρωπος.




Δόξα... Καὶ νῦν... *Σταυροθεοτοκίον*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν*

Ὅτε σε ὁ ἄνομος λαός, Σῶτερ, τὴν ζωὴν τῶν ἁπάντων, ξύλῳ ἀνήρτησε, τότε ἡ πανάμωμος, Ἁγνὴ καὶ Μήτηρ σου, παρεστῶσα ἐκραύγαζεν, ὀλοφυρομένη. Τέκνον μου γλυκύτατον, φῶς τῶν ἐμῶν ὀφθαλμῶν, οἴμοι! πῶς κακούργων ἐν μέσῳ, ξύλῳ προσπαγῆναι ἠνέσχου, ὁ τὴν γῆν κρεμάσας ἐν, τοῖς ὕδασιν;

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος
## Ἦχος δ΄

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



θε ω σω θη ναι τας ψυ χας η μων

Δόξα... Τοῦ Προφήτου. Ἦχος β΄

Τοῦ Προφήτου σου Μωϋσέως τὴν μνήμην, Κύριε, ἑορτάζοντες, δι᾽ αὐτοῦ σὲ δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος Δι

Του Προ φη του σου Μω υ σε
ως την μνη μην Κυ ρι ε ε ορ τα ζον τες
δι αυ του Σε δυ σω πουμεν σω σον τας ψυ
χας η μω ων

Καὶ νῦν...

Τῇ Τετάρτῃ πρωΐ.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις, τῆς δόξης τὸν Κύριον.

Ἦχος Δι

Σε με γα λυ υ νο μεν Θε ο το κε

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

βο ω ων τες χαι ρε α δυ του φω τος νε φε

ε ε ε λη αυ τον βα στα σα σα εν κο ολ

ποις σου της δο ξης τον Κυ υ ρι ο ο ον

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β'

## Εἰς τὴν Θείαν Λειτουργίαν

### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος Νη




### ΕΤΕΡΑ



# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

4. Κυ ρι ε ε ε λε η σο ο ο ον

5. Κυ ρι ε ε λε ε η σον

6. Κυ ρι ε ε λε ε ε η σον

7. Κυ ρι ε ε λε η σον

8. Κυ ρι ε ε λε η σον

9. Κυ ρι ε ε λε η σον

10. Κυ ρι ε ε λε ε η σον

11. Κυ ρι ε ε λε ε ε η σον

12. Σοι Κυ ρι ε

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

Ἀντίφωνο Α΄

Ἦχος Δι



τερ σω σον η μας

Στιχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι ε εν τοις ποι η μα σι σου και εν τοις ερ γοις των χει ρων σου α γαλ λι α σο μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Στιχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο Θε ος η μων και ουκ ε στιν α δι κι α εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

## Δόξα Πατρὶ...Καὶ νῦν...

Τὸ τελευταῖον. Ταις πρε σβει αις της Θε ο
το ο κου Σω τερ σω σον η μα α ας

### Ἀντίφωνο Β΄

Ἦχος Δι

Α μη ην

Στιχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ
σεν ευ πρε πει αν ε νε δυ σα το ε
νε δυ σα το Κυ ρι ος δυ να μιν και
πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στιχ. β΄ Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στιχ. γ΄ Θαυ μα στοι οι με τε ω ρι
σμοι της θα λασ σης θαυ μα στος εν υ ψη
λοις ο Κυ ρι ος

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στιχ. δ΄ Τα μαρ τυ ρι α σου ε πι

στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι

Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην

Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

## Ἀντίφωνο Γ΄

### Ἦχος Δι

Στιχ. α΄ Δευ τε α γαλ λι α σω με θα τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω τω Σω τη ρι η μων

Σω σον η μα ας Υι ε Θε ου ο εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη λου ι α

Στιχ. β΄ Προ φθα σω μεν το προ σω πον αυ του εν ε ξο μο λο γη σει και εν ψαλ μοις α λα λα ξω μεν αυ τω

Σω σον η μα ας Υι ε Θε ου ο


εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α
Στιχ. γ΄
Ο τι Θε ος με γας Κυ ρι ος
και βα σι λευς με γας ε πι πα σαν την
γην
Σω σον η μας Υι ε Θε ου ο εν
Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη
λου ι α α α α

## Εἰσοδικό




## Ἀπολυτίκιον

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β'

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος
## Ἦχος δ'

**Κ**αὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



θε ω σω θη ναι τας ψυ χας η μων

## Ἀπολυτίκιον

### Τοῦ Προφήτου. Ἦχος β΄

Τοῦ Προφήτου σου Μωϋσέως τὴν μνήμην, Κύριε, ἑορτάζοντες, δι᾿ αὐτοῦ σὲ δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος Δι

Του Προ φη του σου Μω υ σε ως την μνη μην Κυ ρι ε ε ορ τα ζον τες δι αυ του Σε δυ σω που μεν σω σον τας ψυ χας η μω ων

## Ἀπολυτίκιον τοῦ Ναοῦ.

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

## Κοντάκιον

### Τῇ Τετάρτῃ τοῦ Σταυροῦ

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

### Κοντάκιον τοῦ Σταυροῦ.

Ἦχος Δι




μα χι αν ε χοι εν την σην ο πλον ει ρη
η νης α ητ τη τον τρο ο παι ο ο
ον

# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΕΤΑΡΤΗ ΙΒ΄, ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος γ΄

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 6:11-16

Ἀδελφοί, τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται· οὐ στενοχωρεῖσθε ἐν ἡμῖν; στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν· τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ( ὡς τέκνοις λέγω), πλατύνθητε καὶ ὑμεῖς. Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελιάρ, ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ἡμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος· καθὼς εἶπεν ὁ Θεὸς.

Ἀλληλούϊα Ἦχος πλ. δ΄

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος



Ἦχος


Ει ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ιστος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος Πα
Α α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν
τα πα αν τα η μιν συγ χω ω ω ρη σον
ως α γα θο ος και αι αι φι λα α α
α αν θρω ω ω ω πο ο ο ος

## Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα




μω ω ων προς ερ γα σι ι ι αν τω ω
ω ων ε εν τοο ο λω ω ω ων σου πρε
σβει ει αις της πα να χρα αν του ου ου σου
ου Μη η η προς και πα αν τωων σου ου
των Α γι ω ω ων α μην

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

## Κοινωνικόν

Ἦχος Πα




σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι
ι α α α α
Στίχος. Τι αν τα πο δω σω τω Κυ ρι
ι ω πε ρι πα αν των ων αν τα πε δω κε
μει
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα
α Κυ υ ρι ι ου ε πι κα λε ε ε
σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι
ι α α α α
Στίχος. Τας ευ χας μου τω Κυ ρι ω

α πο δω ω σω ε ναν τι ον παν το ος
του λα ου α αυ του

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα
α Κυ υ ρι ι ου ε πι κα λε ε ε
σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι
ι α α α α

Στίχος. Ὢ Κυ ρι ε ε γω δου λος σος ε
γω ω δου ου λος σος και υι ο ος της παι δι
σκη ης σου δι ερ ρη ξας τους δε σμους μου

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι ᾳ και το ο νο μα

α Κυ υ ρι ι ου ῃ ε πι κα λε ε ε

σο ο ο ο μαι ᾳ Αλ λη λου ου ου ι ι ι

ι α α α α ᾳ

Στίχος. ᾳ Ε πι στρε ψον ψυ χη μου εις την

α να παυ σιν σου ᾳ ο τι Κυ ρι ος ευ ηρ

γε τη σε σε ᾳ

ᾳ Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι ᾳ και το ο νο μα

α Κυ υ ρι ι ου ῃ ε πι κα λε ε ε

σο ο ο ο μαι ᾳ Αλ λη λου ου ου ι ι ι

ι α α α α

Στίχος. Ε λε η μων ο Κυ ρι ος και δι και ος και ο Θε ος η μω ων ε λε ει

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη η ψο ο ο μαι και το ο νο μα α Κυ υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι

ι α α α α

Στίχος. Ευ α ρε στη σω ε νω πι ον Κυ ρι ου εν χω ρα ζω ων των


Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα
α Κυ υ ρι ι ου ε πι κα λε ε ε
σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι
ι α α α α
Στίχος.
Σοι θυ σω θυ σι ι ι αν αι νε
σε ως και εν ο νο μα τι Κυ ρι ου ε πι κα
λε σο μαι
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα
α Κυ υ ρι ι ου ε πι κα λε ε ε

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι

ι α α α α

Στίχος. Τας ευ χας μου τω Κυ ρι ω α

πο δω σω ε ναν τι ον παν τος του λα ου

αυ του εν αυ λαις οι κου Κυ ρι ου εν

με ε σω σου Ι ε ρου σα λημ

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα

α Κυ υ ρι ι ου ε πι κα λε ε ε

σο ο ο ο μαι Αλ λη λου ου ου ι ι ι

ι α α α α

## 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

### Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι

Ει δο μεν το φως το α λη θι νον ε λα

βο με εν Πνευ μα ε που ρα α νι ον ευ ρο μεν

πι στιν α λη θη α δι αι ρε τον Τρι

α δα προ σκυ νου ου ου ουν τες αυ τη γαρ

η η μας ε σω σε ε ε ε ε εν

### Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος Δι Α μην α μην α μην εις α

φε σιν α μαρ τι ων και εις ζω ην αι

ω ω νι ον

Πλη ρω θη τω το στο μα η μων


αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...

Ἦχος Δι




Τόν Εὐλογοῦντα...




Ἦχος Βαρύς Ζω
Με Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

## Θεοτοκία εἰς ἦχον Βαρύν
## Μή καταπιστεύσεις με

### Ἦχος Βαρύς Ζω



ι αν ουκ ε χω πλη ην σου Δε ε σποι να

του κο ο ο σμου ελ πις και προ στα σι ι α

των πι στων μη μου πα ρι ι δης την δε

ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η σον

# 04-09-2019 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ Β΄

## Μεταβολή τῶν θλιβομένων

### Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.